καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι, καὶ ἐξετάζειν δὲ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥςπερ ὁ φρούραρχος τὰς φυλακὰς ἐξετάζει, καὶ δοκιμάζειν, εἰ καλῶς ἕκαστον ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾷν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως[46], καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων δεόμενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν, ἔφη, ὡς οὐκ ἂν ἄχθοιτο δικαίως, εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα, ἐπιδεικνύων, ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον, ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν μὴ δῷ ὁ κύριος· δεσπότου δὲ ἅπαντά ἐστιν ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι. Ὅτῳ οὖν καὶ σωζομένων μεγίστη ὄνησις καὶ φθειρομένων μεγίστη βλάβη, τούτῳ καὶ τὴν ἐπιμέλειαν μάλιςα προσήκουσαν ἀπέφαινον. Τί οὖν; ἔφην, ἐγὼ, ὦ Ἰσχόμαχε, ταῦτα ἀκούσασα ἡ γυνή πῶς σοι ὑπήκουε; Τί δὲ, ἔφη, εἰ μὴ εἶπέ γέ μοι, ὦ Σώκρατες, ὅτι οὐκ ὀρθῶς γιγνώσκοιμι, εἰ οἰοίμην χαλεπὰ ἐπιτάττειν διδάσκων, ὅτι ἐπιμελεῖσθαι δεῖ τῶν ὄντων· χαλεπώτερον γὰρ ἂν, ἔφη φάναι, εἰ αὐτῇ ἐπέταττον ἀμελεῖν τῶν ἑαυτῆς ἢ εἰ ἐπιμελεῖσθαι δεήσει τῶν οἰκείων ἀγαθῶν. Πεφυκέναι γὰρ δοκεῖ, ἔφη, ὥσπερ καὶ τέκνων ῥᾷον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν, οὕτω καὶ τῶν κτημάτων, ὅσα ἴδια ὄντα εὐφραίνει, ἥδιον τὸ ἐπιμελεῖσθαι νομίζειν ἔφη εἶναι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν.

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Συνεβούλευον δὲ αὐτῇ μὴ δουλικῶς ἀεὶ καθῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς πειρᾶσθαι δεσποτικῶς, πρὸς μὲν τὸν ἱστὸν προστᾶσαν ὅ τι μὲν βέλτιον ἄλλου ἐπίσταιτο ἐπιδιδάξαι, ὅ τι δὲ χεῖρον ἐπιμαθεῖν· ἐπισκέψασθαι δὲ καὶ σιτοποιὸν, παραστῆναι δὲ καὶ ἀπομετρούσῃ τῇ ταμίᾳ, περιελθεῖν δ᾽ ἐπισκοπουμένην καὶ εἰ κατὰ χώραν ἔχει ἣν δεῖ ἕκαστα[47]. Ταῦτα γὰρ ἐδόκει μοι ἅμα ἐπιμέλεια εἶναι καὶ περίπατος. Ἀγαθὸν δὲ ἔφην εἶναι γυμνάσιον καὶ τὸ δεῦσαι καὶ μάξαι, καὶ ἱμάτια καὶ στρώματα ἀνασεῖσαι καὶ συνθεῖναι· γυμναζομένην δ᾽ ἔφην οὕτως ἂν καὶ ἐσθίειν ἥδιον καὶ ὑγιαίνειν μᾶλλον καὶ εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ· καὶ ὄψις[48] δὲ, ὁπόταν ἀνταγωνίζηται διακόνῳ καθαρωτέρα οὖσα πρεπόντως τε μᾶλλον ἠμφιεσμένη, κινητικὸν γίνεται, ἄλλως τε καὶ ὁπόταν τὸ ἑκοῦσαν χαρίζεσθαι προσῇ ἀντὶ τοῦ ἀναγκαζομένην ὑπηρετεῖν.

---

46) ὅσον τὸ κατὰ δύναμιν, ἐκ τῶν ἐνόντων. 47) Εἰ ἕκαστα ἔχει (κεῖνται) κατὰ χώραν ἣν δεῖ. 48) Καὶ τὸ θέαμα δὲ τοῦτο, δηλαδὴ ὁπόταν κτλ., γίνεται παρακινητικὸν πρὸς τὸ φιλεῖσθαι μᾶλλον αὐτὴν πρὸς τοῦ ἀνδρός.